Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XLVII. Quod Nicaena quidem Synodus vicennalibus Constantini; dedicatio verò Basilicae Hierosolymorum contigit tricennalibus.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

quidem librum opportunè ad calcem hujus operis edituri ſumus; adjuncta etiam oratione illa de tricennalibus, quam paulo poſt profecti Conſtantinopolim, coram ipſo Imperatore recitavimus; ſecundò tum in palatio ſummum omnium Deum ac Dominum laudibus prædicantes. Quam cùm audiret Deo amabilis Imperator, geſtire præ gaudio videbatur. Atque id ipſe finita oratione confeſſus eſt, cùm Epiſcopos qui aderant convivio exciperet, omníque eos genere honoris afficeret.

A καιρὸν, μετὰ τὴν παροῦσαν τῆς γραφῆς ὑπόθεσιν ἐκθησόμεθα. ὁμοῦ καὶ τὸν τριακονταετηρικὸν αὐτῷ συζευγνύντες. ὃν μικρὸν ὕστερον ἐπὶ τῆς βασιλέως ἐπωνύμου πόλεως τὴν πορείαν στειλάμενοι, εἰς ἐπήκοον αὐτοῦ βασιλέως διῄειμεν. τοῦτο δεύτερον ἐν αὐτοῖς βασιλείοις τὸν ἐπὶ πάντων βασιλέα Θεὸν δοξάσαντες. οὗ δὴ κατακροώμενος ὁ τῷ Θεῷ φίλος, γαννυμένῳ ἐῴκει. τοῦτο δ' οὖν αὐτὸ μετὰ τὴν ἀκρόασιν ἐξέφηνε. συμποσιάζων μὲν παροῦσι τοῖς ἐπισκόποις, παντοίᾳ τ' αὐτοὺς τιμῇ φιλοφρονού-B μενος.

Caput XLVII.

Quòd Nicæna quidem Synodus vicennalibus Conſtantini, dedicatio verò baſilicæ Hieroſolymitanæ contigit tricennalibus.

HAnc ſecundam Synodum, omnium quas quidem novimus maximam, Imperator Hieroſolymis congregavit, poſt primam illam quam in urbe Bithyniæ nobiliſſima collegerat. Sed illa quidem triumphalis erat; in Imperii vicennalibus preces ac vota pro victoria de hoſtibus parta, in urbe victoriæ cognomine perſolvens. Hæc verò tricennalium feſtivitatem ornavit, cùm Imperator Deo omnium bonorum Auctori, Martyrium, velut quoddam pacis donarium, in ipſo Servatoris noſtri monumento dedicaret.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ΄.

Ὅτι ἡ μὲν ἐν Νικαίᾳ σύνοδος τῇ εἰκοσαετηρίδι, τὰ ἐγκαίνια δὲ ἐν Ἱεροσολύμοις τῇ τριακονταετηρίδι Κωνσταντίνου γέγονε.

ΤΑύτην μεγίστην ὧν ἴσμεν σύνοδον δευτέραν συνεκρότει βασιλεὺς ἐν αὐτοῖς Ἱεροσολύμοις, μετὰ τὴν πρώτην ἐκείνην, ἣν ἐπὶ τῆς Βιθυνῶν διαφανῶς πεποίητο πόλεως. ἀλλ' ἡ μὲν ἐπινίκιος ἦν, ἐν εἰκοσαετηρίδι τῆς βασιλείας, τὴν κατ' ἐχθρῶν καὶ πολεμίων εὐχὴν ἐπὶ τῆς Νικαίας αὐτῆς ἐκτελοῦσα· ἡ δὲ, τῆς τρίτης C δεκάδος τὴν περίοδον ἐκόσμει, τῷ πάντων ἀγαθῶν δοτῆρι Θεῷ, ἀμφὶ τὸ μνῆμα τὸ σωτήριον, εἰρήνης ἀνάθημα τὸ μαρτύριον βασιλέως ἀφιεροῦντος.

Caput XLVIII.

Quomodo immodicas cujuſdam laudes ægrè tulerit.

HIs omnibus confectis, cùm Imperatoris virtus cunctorum ſermonibus prædicaretur, quidam ex numero Sacerdotum, illum coram beatum pronuntiare non eſt veritus: quippe qui tum in hac vita ſummum totius orbis Romani Imperium conſequi meruiſſet; tum in futuro ævo unà cum Filio Dei eſſet regnaturus. At ille hujuſmodi voces ægrè admodum paſſus, hominem admonuit, ne his verbis uti præſumeret; ſed potius ſupplex Deo vota faceret, ut tam in hac quam in futura vita, cenſeri inter famulos Dei mereretur.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ΄.

Ὅπως τινὸς ἄγαν ἐπαινοῦντος, οὐκ ἠνέσχετο Κωνσταντῖνος.

ΚΑὶ δὴ τούτων ἁπάντων συντελουμένων, ἀνὰ στόμα τε παρὰ πᾶσι τῶν τῆς αὐτοῦ D κατὰ Θεὸν ἀρετῆς βοωμένων, τῶν τοῦ Θεοῦ λειτουργῶν τις ἀποτολμήσας, εἰς αὐτοῦ πρόσωπον μακάριον αὐτὸν ἀπέφηνεν. ὅτι δὴ κἀν τῷ παρόντι βίῳ τῆς κατὰ πάντων αὐτοκρατορικῆς βασιλείας ἠξιωμένος εἴη. κἀν τῷ μέλλοντι συμβασιλεύειν μέλλοι τῷ υἱῷ τοῦ Θεοῦ. ὁ δ' ἀηθῶς τῆς φωνῆς ἐπακούσας, μὴ τοιαῦτα τολμᾶν παρῄνει φθέγγεσθαι. μᾶλλον δὲ δι' εὐχῆς ποιεῖσθαι αὐτῷ, κἀν τῷ παρόντι κἀν τῷ μέλλοντι τῆς τοῦ Θεοῦ δουλείας ἄξιον φανῆναι.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN